A Η σὺ πιστεύων, ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους,
Πρῶτος ὤν, ὁ δ' Ιπποδάμου λείβεται θεώμενος.
Αλλ' ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
Σοῦ μιαρώτερος, ὥστε με χαίρειν,
Ος σε παύσει, καὶ πάρεστι, δῆλός ἐστιν αὐτόθεν,
Εν πανουργίᾳ τε, καὶ θράσει, καὶ κοβαλικεύμασιν.
B Αλλ' ὦ τραφεὶς, ὅθεν πέρ εἰσιν ἄνδρες, οἵ πέρ εἰσι,
Νῦν δεῖξον, ὡς οὐδὲν λέγει, τὸ σωφρόνως τραφῆναι.

*Hac tu fretus, fructuosos decerpis nunc hospites,*
*Cùm sis prætor. Hippodami verò filius, tuam*
*Insolentiam videns, ferè liquescit lacrymis.*
*Verùm equidem modò vir sceleratior*
*Te, subito exoriens, reficit me,*
*Qui te compescet, & adest: & hic præclarus autor est*
*In dolis, audacia, atque in assentationibus.*
*Age tu, qui illic nutritus es, vnde viri sunt, qui quidem sunt,*
*Nunc ostende, vt pro nihilo hic ducat, esse probè educatum.*

Σχόλια. Η σύ.] τοῦτο πρὸς τὸν Κλέωνα. ἀμέλγεις δὲ, λαμβάνεις τὰ αὐτῶν πράγματα. τοῦτο δὲ παρὰ τὴν κοινὴν συνήθειαν εἴρηται.

Bisetus. Αμέλγεις] Αμέλγειν κατὰ τὸν Εὐστάθιον, ἐκ τοῦ ἀμέργειν γίνεται κατὰ τροπὴν τοῦ ρ εἰς λ. ἀμέργειν δὲ, τὸ ἐκπιέζειν, καὶ καρπολογεῖν. λέγεται καὶ C μέργειν, ὅθεν καὶ τὸ ἀμέργειν προστεθέντος τοῦ α ἐπιτατικοῦ.

Σχόλια. Τοὺς καρπίμους.] τοὺς εὐπόρους τῶν ξένων διασείεις. τοὺς πλουσίους καὶ εὐποροῦντας. ἀμέλγεις δὲ ἀποδρέπῃ. ἀπανθίζεις. τρυγᾷς καὶ καρπίζῃ. ἰδίως δὲ ἀμέλγειν λέγεται, τὸ παρὰ τὸν προσήκοντα καιρὸν τοὺς καρποὺς ἀποσπᾶν, ὅπερ οἱ κλέπται ποιοῦσιν. Ο δ' Ιπποδάμου] οὗτος ἐν Πειραιεῖ κατῴκει, καὶ οἰκίαν εἶχεν, ἥνπερ ἀνῆκε δημοσίαν εἶναι. καὶ πρῶτος αὐτὸς τὸν Πειραιᾶ κατὰ τὰ Μηδικὰ συνήγαγεν. ἦν δὲ Αθηναίοις τίμιος. πικρῶς οὖν λέγει. D ὅτι σὺ μὲν ἀνάξιος ὤν, σφετερίζῃ, καὶ ἀπὸ πάντων κερδαίνεις. ὁ δὲ εὐνούστατος ὢν τῇ πόλει καταλείβεται τοῖς δάκρυσιν ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον. λυπεῖται φησὶν ὁ Αρχεπτόλεμος. οὗτος γὰρ πολλὰ ὠφέλησε τὴν πόλιν. καὶ οἱ μὲν, αὐτὸν φασὶ Θούριον. οἱ δὲ, Μιλήσιον. Κλέωνος δὲ ἐχθρὸς ἦν. λείπει δὲ ὁ ὀφθαλμός. ἄλλως. Ιππόδαμος μόνος λείβεται καὶ ἥτταται. διέβαλλε τὸν γὰρ ἐπὶ πολυφαγίᾳ ὁ Ιππόδαμος. ὡς οὖν τοῦ Κλέωνος ὄντος γαστριμάργου, παρευδοκιμουμένου δὲ ὑπὸ Ιπποδάμου, κέχρηται τῇ συγκρίσει χρησιμώτατα. ὁμοῦ γὰρ καὶ τὸν Ιπ- E πόδαμον καὶ τὸν Κλέωνα διαβάλλει. Ανὴρ ἕτερος.] ὁ ἀλλαντοπώλης. Ος σε παύσει.] καταπαύσει σε. παρευδοκιμήσει. πάρεστιν ἐγγύς ἐστι καὶ πλησίον καὶ οὐκ εἰς μακράν. ἄλλως. ὑπερβαλεῖ σε, παραδραμεῖται, νικήσει σε. καὶ Ομηρος. ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις. C Κοβαλικεύμασι.] τῷ κολακεύειν καὶ πρὸς χάριν δημηγορεῖν. ἐπεὶ καὶ ὁ Κλέων ἐδόκει παρὰ τοῖς Αθηναίοις εὐδοκιμεῖν, διὰ τὸ πρὸς ἡδονὴν καὶ χάριν δημηγορεῖν. καὶ ὅλως δι' ὧν φησὶ παρευδοκιμήσειν τοῦτον, τὸν Παφλαγόνα, διὰ τούτων διαβάλλει τὸν Κλέωνα, δεικνὺς ὅτι τὰ τοιαῦτα πάντα πρόσεστιν αὐτῷ, δι' ὧν ἤρθη μέγας. Αλλ' ὦ τραφείς.] τοιαύτης ἀνατροφῆς μετασχών. τουτέστι πονηρᾶς καὶ κακῆς. ὅθεν οἱ ἀνατραφέντες ἄνδρες οἱ ἔξαρχοι καὶ πρωτεύοντες. οἱ ἀνδρεῖοι ὁμηρικῶς.

D Bisetus. Οὐδὲν λέγει τὸ σωφρόνως] ὁ νοῦς ἐστι. δεῖξον ὡς τὸ τὴν σωφροσύνην ἀσκεῖν, καὶ σωφρόνως ζῆν, οὐδὲν λέγειν, καὶ δηλῶσαι βούλεται. τουτέστιν ὡς ἡ σωφροσύνη τοὺς σώφρονας οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον βλάπτει.

Σχόλια. Τὸ σωφρόνως τραφῆναι.] τὸ ἐπιεικῶς, καὶ εὐγενῶς ἀνατραφῆναι. τὸν ἀλλαντοπώλην δὲ βουλόμενος διαβάλλειν, δείκνυσιν αὐτὸν πονηρῶν ἠθῶν. ἀλλὰ λεληθότως δι' ἂν περὶ τούτου λέγει, ὀνειδίζει τοὺς ἄλλους πολίτας ὡς ἀπὸ τῶν τοιούτων ὁρμωμένους ἐπιτηδευμάτων καὶ εὐδοκιμοῦντας.

---

Bisetus. Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων λβ'.

Αλ. Καὶ μὴν ἀκούσατ', οἷός ἐστιν οὑτοσὶ πολίτης.
Κλ. Οὐκ αὖ μ' ἐάσῃς; Αλ. μὰ Δί', ἐπεὶ κἀγὼ πονηρός εἰμι.
Αλλ' αὐτὸ, περὶ τοῦ πρότερος εἰπεῖν, πρῶτα διαμαχοῦμαι.
F Χο. Εαν δὲ μὴ ταύτῃ γ' ὑπείκῃ, λέγ' ὅτι κἀκ πονηρῶν.
Κλ. Οὐκ αὖ μ' ἐάσῃς; Αλ. οὐ μὰ Δία. Κλ. ναὶ μὰ Δία. Αλ μὰ τὸν Ποσειδῶ.
Κλ. Οἴμοι, διαῤῥαγήσομαι. Αλ. καὶ μὴν ἐγώ σ' οὐ παρήσω.

AG. *Enimuero audite, hic qualis sit ciuis, quàm modestus.*
CL. *Non tu sines me?* AG. *non hercle, quando & ego vir malus sum.*
*At de hoc ipso primùm pugnabo, vter prior loquatur.*
CH. *Si tibi nolit cedere, dic tu, quòd & ipse vir malus sis.*
CL. *Non tu me iam sines?* AG. *non, per Iouem.* CL. *imò per Iouem.* AG. *non,*
*Per Neptunum.* CL. *hei mihi, disrumpar.* AG. *ego certè haud te sinam isthuc.*

Σχόλια. Καὶ μὴν ἀκούσαθ' οἷος.] εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταλη- G κτικῶν λβ. ὧν τελευταῖος. νὴ τὸν Ποσειδῶ. κἀμὲ γὰρ ἤνπερ γε τοῦτον ἕλκῃς. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ἑξῆς δὲ τούτων ἰαμβικὰ δίμετρα ἀκατάληκτα ιέ. πλὴν τοῦ παρατελεύτου μονομέτρου οἷτος. καὶ τοῦ τελευταίου διμέτρου καταληκτικοῦ. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Οὐκ αὖ μ' ἐάσεις.] οὐκ ἐπιτρέψεις. οὐ συγχωρήσεις μοι. ὁ δὲ Κλέων ἐστὶν ὁ λέγων πρὸς τὸν ἀλλαντοπώλην. ἐπιστομίζειν γὰρ αὐτὸν ἐκεῖνος βουλόμενος λέγει. G Οὐ παρήσω.] οὐ παραχωρήσω. πρὸς δὲ τὸ οὐκ ἐάσεις, οὐ παρήσω εἰπεῖν πρῶτον δηλονότι. ἀμφιβόλως δὲ εἶπε. λέγων γὰρ οὐκ ἂν πρώτῳ λέγειν ἐπιτρέψαιμί σοι, ἔδοξεν εὐφημότερον ἀποκεῖναι πρὸς τὸ ὑπ' ἐκείνου ῥηθὲν διαῤῥαγήσομαι. διόπερ ἑξῆς ὁ χορὸς ἀπεκείνατο παρὲς πρὸς τῶν θεῶν διαῤῥαγῆναι.

Χο. Πά-